# Eulogikon

Ancient Greek Texts — Free & Open source


eul_wid: mwq-ac

*Βίων ὁ Σμυρναῖος* · Bion of Smyrna

# Pastoral Dialogue on the Seasons

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Δωρὶς βουκολική* Doric Bucolic
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [ln_1]Ἀμφασία τὸν

book 1.2 Φοῖβον ἕλεν τόσον ἄλγος ἔχοντα. δίζετο φάρμακα πάντα

book 1.3 σοφὰν δ’ ἐπεμαίετο τέχναν, χρῖεν δ’ ἀμβροσίᾳ καὶ νέκταρι, χρῖεν ἅπασαν ὠτειλάν· μοιραῖα δ’ ἀναλθέα

book 1.4 τραύματα πάντα.

book 2.1 [spk_κλεοδαμος]ΚΛΕΟΔΑΜΟΣ[ln_1]Εἴαρος, ὦ Μύρσων, ἢ χείματος ἢ φθινοπώρω ἢ θέρεος τί τοι ἁδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν; ἦ θέρος, ἁνίκα πάντα

book 2.2 τελείεται ὅσσα μογεῦμες, ἢ γλυκερὸν

book 2.3 φθινόπωρον, ὅκ’ ἀνδράσι λιμὸς ἐλαφρά,[ln_5]ἢ καὶ χεῖμα δύσεργον—ἐπεὶ καὶ χείματι

book 2.4 πολλοί θαλπόμενοι θέλγονται ἀεργίᾳ τε καὶ ὄκνῳ— ἤ τοι καλὸν ἔαρ

book 2.5 πλέον εὔαδεν; εἰπὲ τί τοι

book 2.6 φρήν αἱρεῖται, λαλέειν γὰρ ἐπέτραπεν ἁ σχολὰ ἄμμιν.

book 2.1 [ln_spkr2][spk_μυρσων]ΜΥΡΣΩΝ[ln_9]κρίνειν οὐκ ἐπέοικε θεήια ἔργα βροτοῖσι,[ln_10]πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δὲ ἕκατι ἐξερέω, Κλεόδαμε, τό μοι πέλεν ἅδιον ἄλλων. οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ’ ἅλιος ὀπτῇ· οὐκ ἐθέλω

book 2.2 φθινόπωρον, ἐπεὶ νόσον ὥρια τίκτει. οὖλον

book 2.3 χεῖμα φέρει νιφετόν, κρυμὼς δὲ φοβεῦμαι.[ln_15]εἶαρ ἐμοὶ τριπόθητον ὅλῳ λυκάβαντι

book 2.4 παρείη, ἁνίκα μήτε κρύος μήθ’ ἅλιος ἄμμε βαρύνει. εἴαρι πάντα κύει, πάντ’ εἴαρος ἁδέα βλαστεῖ, χἀ νὺξ ἀνθρώποισιν ἴσα καὶ ὁμοίιος ἀώς.

book 3.1 Μοίσας Ἔρως καλέοι, Μοῖσαι τὸν Ἔρωτα φέροιεν. μολπὰν

book 3.2 ταὶ Μοῖσαί μοι ἀεὶ ποθέοντι διδοῖεν, τὰν γλυκερὰν μολπάν, τᾶς φάρμακον ἅδιον οὐδέν.

book 4 Ἐκ θαμινᾶς ῥαθάμιγγος, ὅπως λόγος, αἰὲς ἰοίσας χἀ λίθος ἐς ῥωχμὸν κοιλαίνεται.

book 5.1 Οὐ καλόν, ὦ φίλε, πάντα λόγον

book 5.2 ποτὶ τέκτονα

book 5.3 φοιτῆν, μηδ’ ἐπὶ πάντ’ ἄλλω

book 5.4 χρέος ἰσχέμεν· ἀλλὰ καὶ αὐτός

book 5.5 τεχνᾶσθαι σύριγγα, πέλει δέ τοι εὐμαρὲς ἔργον.

book 6.1 Μηδὲ λίπῃς μ’ ἀγέραστον, ἐπὴν χὠ Φοῖβος ἀείδειν μισθὸν ἔδωκε. τιμὰ δὲ τὰ πράγματα κρέσσονα

book 6.2 ποιεῖ.

book 7.1 Οὐκ οἶδ’, οὐδ’ ἐπέοικεν ἃ μὴ μάθομες

book 7.2 πονέεσθαι.

book 8.1 Εἴ μευ καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μῶνα κῦδος ἐμοὶ θήσοντι τά μοι πάρος ὤπασε Μοῖσα· εἰ δ’ οὐχ ἁδέα

book 8.2 ταῦτα, τί μοι

book 8.3 πολὺ πλείονα μοχθεῖν; εἰ μὲν γὰρ βιότω διπλόον

book 8.4 χρόνον ἄμμιν ἔδωκεν[ln_5]ἢ Κρονίδας ἢ Μοῖρα

book 8.5 πολύτροπος, ὥστ’ ἀνύεσθαι τὸν μὲν ἐς εὐφροσύναν καὶ χάρματα τὸν δ’ ἐπὶ μόχθῳ, ἦν τάχα μοχθήσαντι

book 8.6 ποθ’ ὕστερον ἐσθλὰ δέχεσθαι. εἰ δὲ θεοὶ κατένευσαν ἕνα

book 8.7 χρόνον ἐς βίον ἐλθεῖν ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μείονα πάντων,

book 8.1 [ln_10]ἐς πόσον, ἆ δειλοί, καμάτως κεἰς ἔργα

book 8.2 πονεῦμες, ψυχὰν δ’ ἄχρι τίνος

book 8.3 ποτὶ κέρδεα καὶ ποτὶ τέχνας βάλλομες ἱμείροντες ἀεὶ πολὺ πλείονος ὄλβω; λαθόμεθ’ ἦ ἄρα πάντες ὅτι θνατοὶ γενόμεσθα, χὡς βραχὺν ἐκ Μοίρας λάχομες

book 8.4 χρόνον;

book 9.1 Ταὶ Μοῖσαι τὸν Ἔρωτα τὸν ἄγριον οὐ φοβέονται ἐκ θυμῶ δὲ φιλεῦντι καὶ ἐκ

book 9.2 ποδὸς αὐτῷ ἕπονται. κἢν μὲν ἄρα

book 9.3 ψυχάν

book 9.4 τις ἔχων ἀνέραστον ἀείδῃ, τῆνον ὑπεκφεύγοντι καὶ οὐκ ἐθέλοντι διδάσκειν·[ln_5]ἢν δὲ νόον

book 9.5 τις Ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ, ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι

book 9.6 προρέοντι. μάρτυς ἐγὼν ὅτι μῦθος ὅδ’ ἔπλετο πᾶσιν ἀλαθής· ἢν μὲν γὰρ βροτὸν ἄλλον ἢ ἀθανάτων

book 9.7 τινὰ μέλπω, βαμβαίνει μοι γλῶσσα καὶ ὡς πάρος οὐκέτ’ ἀείδει·

book 9.1 [ln_10]ἢν δ’ αὖτ’ ἐς τὸν Ἔρωτα καὶ ἐς Λυκίδαν

book 9.2 τι μελίσδω, καὶ τόκα μοι

book 9.3 χαίροισα διὰ στόματος ῥέει αὐδά.

book 10.1 Ἁ μεγάλα μοι Κύπρις ἔθ’ ὑπνώοντι

book 10.2 παρέστα νηπίαχον τὸν Ἔρωτα καλᾶς ἐκ

book 10.3 χειρὸς ἄγοισα ἐς

book 10.4 χθόνα νευστάζοντα, τόσον δέ μοι ἔφρασε μῦθον· ‘μέλπειν μοι, φίλε βοῦτα, λαβὼν τὸν Ἔρωτα δίδασκε‘.[ln_5]ὣς λέγε· χὰ μὲν ἀπῆλθεν, ἐγὼ δ’ ὅσα βουκολίασδον, νήπιος ὡς ἐθέλοντα μαθεῖν, τὸν Ἔρωτα δίδασκον, ὡς εὗρεν

book 10.5 πλαγίαυλον ὁ Πάν, ὡς αὐλὸν Ἀθάνα, ὡς χέλυν Ἑρμάων, κίθαριν ὡς ἁδὺς Ἀπόλλων. ταῦτά νιν ἐξεδίδασκον· ὃ δ’ οὐκ ἐμπάζετο μύθων,[ln_10]ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί με δίδασκε θνατῶν ἀθανάτων

book 10.6 τε πόθως καὶ ματέρος ἔργα. κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν Ἔρωτα δίδασκον, ὅσσα δ’ Ἔρως με δίδαξεν ἐρωτύλα πάντα διδάχθην.

book 11.1 Ἕσπερε, τᾶς ἐρατᾶς

book 11.2 χρύσεον φάος Ἀφρογενείας, Ἕσπερε, κυανέας ἱερόν, φίλε, νυκτὸς ἄγαλμα, τόσσον ἀφαυρότερος μήνας ὅσον ἔξοχος ἄστρων, χαῖρε, φίλος, καί μοι

book 11.3 ποτὶ ποιμένα κῶμον ἄγοντι[ln_5]ἀντὶ σελαναίας τὺ δίδου φάος, ὥνεκα τήνα σάμερον ἀρχομένα τάχιον δύεν. οὐκ ἐπὶ φωράν ἔρχομαι οὐδ’ ἵνα νυκτὸς ὁδοιπορέοντας ἐνοχλέω, ἀλλ’ ἐράω· καλὸν δέ γ’ ἐρασσαμένῳ συναρέσθαι.

book 12.1 Ὄλβιοι 〈οἱ〉 φιλέοντες ἐπὴν ἴσον ἀντεράωνται. ὄλβιος ἦν Θησεὺς τῶ Πειριθόω

book 12.2 παρεόντος, εἰ καὶ ἀμειλίκτοιο κατήλυθεν εἰς Ἀΐδαο· ὄλβιος ἦν

book 12.3 χαλεποῖσιν ἐν Ἀξείνοισιν Ὀρέστας[ln_5]ὥνεκά οἱ ξυνὰς

book 12.4 Πυλάδας ᾄρητο κελεύθως· ἦν μάκαρ Αἰακίδας ἑτάρω ζώοντος Ἀχιλλεύς· ὄλβιος ἦν θνᾴσκων ὅ οἱ οὐ μόρον αἰνὸν ἄμυνεν.

book 13.1 Ἰξευτὰς ἔτι κῶρος ἐν ἄλσεϊ δενδράεντι ὄρνεα θηρεύων τὸν ἀπότροπον εἶδεν Ἔρωτα ἑσδόμενον πύξοιο

book 13.2 ποτὶ κλάδον· ὡς δὲ νόησε, χαίρων ὥνεκα δὴ μέγα

book 13.3 φαίνετο τὤρνεον αὐτῷ,[ln_5]τὼς καλάμως ἅμα πάντας ἐπ’ ἀλλάλοισι

book 13.4 συνάπτων τᾷ καὶ τᾷ τὸν Ἔρωτα μετάλμενον ἀμφεδόκευε. χὠ παῖς, ἀσχαλάων ὅκα οἱ τέλος οὐδὲν ἀπάντη, τὼς καλάμως ῥίψας

book 13.5 ποτ’ ἀροτρέα

book 13.6 πρέσβυν ἵκανεν ὅς νιν τάνδε τέχναν ἐδιδάξατο, καὶ λέγεν αὐτῷ[ln_10]καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς μειδιάων κίνησε κάρη καὶ ἀμείβετο

book 13.7 παῖδα· ‘φείδεο τᾶς θήρας, μηδ’ ἐς τόδε τὤρνεον ἔρχευ. φεῦγε μακράν· κακόν ἐντι τὸ θηρίον. ὄλβιος ἔσσῃ εἰσόκε μή νιν ἕλῃς· ἢν δ’ ἀνέρος ἐς μέτρον ἔλθῃς[ln_15]οὗτος ὁ νῦν

book 13.8 φεύγων καὶ ἀπάλμενος αὐτὸς ἀφ’ αὑτῶ ἐλθὼν ἐξαπίνας κεφαλὰν ἔπι

book 13.9 σεῖο καθιξεῖ‘.

book 14.1 Ἅμερε Κυπρογένεια, Διὸς τέκος ἠὲ θαλάσσας, τίπτε τόσον θνατοῖσι καὶ ἀθανάτοισι

book 14.2 χαλέπτεις; τυτθὸν ἔφαν. τί νυ τόσσον ἀπήχθεο καὶ τεῒν αὐτᾷ ταλίκον ὡς πάντεσσι κακὸν τὸν Ἔρωτα

book 14.3 τεκέσθαι,[ln_5]ἄγριον, ἄστοργον, μορφᾷ νόον οὐδὲν ὁμοῖον; ἐς τί δέ νιν

book 14.4 πτανὸν καὶ ἑκαβόλον ὤπασας ἦμεν ὡς μὴ πικρὸν ἐόντα δυναίμεθα τῆνον ἀλύξαι;

book 15 Μορφὰ θηλυτέραισι πέλει καλόν, ἀνέρι δ’ ἀλκά.

book 16.1 Αὐτὰρ ἐγὼν βασεῦμαι ἐμὰν ὁδὸν ἐς τὸ κάταντες τῆνο

book 16.2 ποτὶ ψάμαθόν

book 16.3 τε καὶ ἀιόνα

book 16.4 ψιθυρίσδων, λισσόμενος Γαλάτειαν ἀπηνέα· τὰς δὲ γλυκείας ἐλπίδας ὑστατίω μέχρι γήραος οὐκ ἀπολειψῶ.

book 17 Πάντα θεῶ γ’ ἐθέλοντος ἀνύσιμα· πάντα βροτοῖσιν ἐκ μακάρων ῥάιστα καὶ οὐκ ἀτέλεστα γένοιτο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org